4 ἀρχῆς κατασταθήσεσθαι. [4]ὁ δὲ βασιλεὺς τῶν βασιλέων ἐξήγειρεν
τὸν θυμὸν τοῦ Ἀντιόχου ἐπὶ τὸν ἀλιτήριον, καὶ Λυσίου ὑποδεί-
ξαντος τοῦτον αἴτιον εἶναι πάντων τῶν κακῶν, προσέταξεν, ὡς
ἔθος ἐστὶν ἐν τῷ τόπῳ, προσαπολέσαι ἀγαγόντας εἰς Βέροιαν.
5 [5]ἔστιν δὲ ἐν τῷ τόπῳ πύργος πεντήκοντα πήχεων πλήρης σποδοῦ,
οὗτος δὲ ὄργανον εἶχεν περιφερὲς πάντοθεν ἀπόκρημνον εἰς τὴν
6 σποδόν. [6]ἐνταῦθα τὸν ἱεροσυλίας ἔνοχον ἢ καί τινων ἄλλων κακῶν
7 ὑπεροχὴν πεποιημένον ἅπαντες προσωθοῦσιν εἰς ὄλεθρον. [7]τοιούτῳ
μόρῳ τὸν παράνομον συνέβη θανεῖν μηδὲ τῆς γῆς τυχόντα Μενέ-
8 λαον· [8]πάνυ δικαίως· ἐπεὶ γὰρ συνετελέσατο πολλὰ περὶ τὸν
βωμὸν ἁμαρτήματα, οὗ τὸ πῦρ ἁγνὸν ἦν καὶ ἡ σποδός, ἐν σποδῷ
τὸν θάνατον ἐκομίσατο.
9 [9]Τοῖς δὲ φρονήμασιν ὁ βασιλεὺς βεβαρβαρωμένος ἤρχετο τὰ
χείριστα τῶν ἐπὶ τοῦ πατρὸς αὐτοῦ γεγονότων ἐνδειξόμενος τοῖς
10 Ιουδαίοις. [10]μεταλαβὼν δὲ Ιουδας ταῦτα παρήγγειλεν τῷ πλήθει
δι᾽ ἡμέρας καὶ νυκτὸς ἐπικαλεῖσθαι τὸν κύριον, εἴ ποτε καὶ ἄλλοτε,
καὶ νῦν ἐπιβοηθεῖν τοῖς τοῦ νόμου καὶ πατρίδος καὶ ἱεροῦ ἁγίου
11 στερεῖσθαι μέλλουσιν [11]καὶ τὸν ἄρτι βραχέως ἀνεψυχότα λαὸν μὴ
12 ἐᾶσαι τοῖς δυσφήμοις ἔθνεσιν ὑποχειρίους γενέσθαι. [12]πάντων δὲ
τὸ αὐτὸ ποιησάντων ὁμοῦ καὶ καταξιωσάντων τὸν ἐλεήμονα κύ-
ριον μετὰ κλαυθμοῦ καὶ νηστειῶν καὶ προπτώσεως ἐπὶ ἡμέρας
τρεῖς ἀδιαλείπτως παρακαλέσας αὐτοὺς ὁ Ιουδας ἐκέλευσεν παρα-
13 γίνεσθαι. [13]καθ᾽ ἑαυτὸν δὲ σὺν τοῖς πρεσβυτέροις γενόμενος ἐβου-
λεύσατο πρὶν εἰσβαλεῖν τοῦ βασιλέως τὸ στράτευμα εἰς τὴν Ιου-
δαίαν καὶ γενέσθαι τῆς πόλεως ἐγκρατεῖς ἐξελθόντας κρῖναι τὰ
14 πράγματα τῇ τοῦ θεοῦ βοηθείᾳ. [14]δοὺς δὲ τὴν ἐπιτροπὴν τῷ κτίστῃ
τοῦ κόσμου παρακαλέσας τοὺς σὺν αὐτῷ γενναίως ἀγωνίσασθαι
μέχρι θανάτου περὶ νόμων, ἱεροῦ, πόλεως, πατρίδος, πολιτείας·
15 περὶ δὲ Μωδεϊν ἐποιήσατο τὴν στρατοπεδείαν. [15]ἀναδοὺς δὲ τοῖς
περὶ αὐτὸν σύνθημα »θεοῦ νίκην« μετὰ νεανίσκων ἀρίστων κεκρι-
μένων ἐπιβαλὼν νύκτωρ ἐπὶ τὴν βασιλικὴν αὐλὴν τὴν παρεμβολὴν
ἀνεῖλεν εἰς ἄνδρας δισχιλίους, καὶ τὸν πρωτεύοντα τῶν ἐλεφάντων
16 σὺν τῷ κατ᾽ οἰκίαν ὄντι συνεκέντησεν [16]καὶ τὸ τέλος τὴν παρεμ-
βολὴν δέους καὶ ταραχῆς ἐπλήρωσαν καὶ ἐξέλυσαν εὐημεροῦντες·

3 fin. κατασταθησεται A† || 4 ειναι (+ και A†) παντων / των κακων V†] tr. A, ειναι των κακων παντων *L* || 5 ουτος δε οργ.] οργ. δε A || 6 πεποιημενον] -νων AVc† || 7 τυχοντα] τυγχανοντα A pau. || 9 βεβαρβαρωμενος] βεβαρημ. A† || 10 ιουδας] pr. ο V†: cf. 12 | επικαλεισθαι] -λεσασθαι A† | ιερου αγιου] tr. V† || 12 ο > V: cf. 10 || 13 του βασ. / το στρατ.] tr. A | εις] επι A† | και > A† || 14 κτιστη V*L*La] κυριω A | νομων] μου V† | μωδειν] -δεειμ *L*, -διειν V†, -διειμ A pau.: cf. I 2 1 | στρατοπεδειαν] στρατιαν A† || 15 νικης V† (cf. 8 23)] -κην A pl., -κη *L* | δισχιλ.] δισ > V†, τετρακισχιλ. *L* | συνεκεντησε(ν) Grimm] συνεθηκε(ν) uel -καν mss. || 16 επληρωσαν] -σεν V†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1184 UNIVERSITÄT LEIPZIG